This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

247.

GAISFORD GREEK PROSE.

THE

REIGN OF TERROR.

BY

ROBERT L. CLARKE,

SCHOLAR OF BALLIOL COLLEGE.

BODLEIANA BIBLIOTHECA

Gough Adds Oxf.
8° 132

Oxford:

T. AND G. SHRIMPTON.

1869.

2345 f. 3

THE REIGN OF TERROR.

Καθῃρημένων οὖν ὅσοι τῇ ἄντικρυς δημοκρατίᾳ ἐνίσταντο τὰ ὅλα ἤδη διὰ χειρὸς ἕξειν ἔμελλον οἱ ταῦτα φρονοῦντες τῶν ξυνέδρων. ἐν μέντοι αὐτῇ τῇ Λυτησίᾳ οὐδὲν ἔτι ἦν τὸ μὴ ὁμόγνωμον αὐτοῖς, ὅ τι καὶ βλάπτειν δύναιτο, ἐν δὲ τῇ ἄλλῃ Κελτικῇ ἐνεωτερίζετο οὐκ ὀλίγα καὶ μάλιστα οἱ τοῦ τέλους ἀρτίως ἀπολυθέντες τὰς αὐτῶν πόλεις ἀφιστάντες ἦσαν· καὶ ξυνέβη τοῖς δημοτικοῖς οὕτως ἅμα μὲν στάσει αὐτόθεν περιπεσεῖν ἅμα δὲ ὑπὸ τῶν ἔξωθεν πολεμίων ἐς κίνδυνον κατέχεσθαι. τοῦ δὲ δέους οὐχ ἥκιστα ξυνεπελάβοντο οἱ Ἄγγλοι, οἵπερ ναυκρατοῦντες τῆς ἐμπορίας ἀπέκλειον αὐτοὺς καὶ τῶν ἐπιτηδείων ὅσοις ἐπακτοῖς ἐχρῶντο καθίσταταν ἐς ἀπορίαν· πολλὰ δὲ ἔπαθον πιεζόμενοι καὶ μάλιστα τὸ ἐν τῷ ἄστει πλῆθος, ἄλλως τε καὶ τοῦ αὐτόθεν σίτου οὐκ ἀφθόνως ἐπὶ τὰς ἀγορὰς φερομένου δι' ἀργυρίου ἐπισήμου ἀπορίαν· ἔβλαπτε δὲ αὐτοὺς οὐκ ὀλίγον καὶ αὐτὸ τοῦτο, πολλὰ δαπανῶντας ἐς τὸν πόλεμον ἔτι δὲ πλείω μέλλοντας δαπανήσειν. τοιούτων δὲ καταστάντων αὐτοῖς τῶν πραγμάτων πάντα ὅμως οἱ ξύνεδροι ὕστερα ἐποιοῦντο τοῦ εὐτρεπίζεσθαι τὴν πολιτείαν· καὶ ξυγγραφέας τινὰς ἑλόμενοι οἳ βουλεύσουσι περὶ αὐτῆς τῶνδε ἀποφηνάντων γνώμην οὕτως ἐψηφίσαντο, τά τε πρότερα ἀναιροῦντες εἴ τι πρὸς δημοκρατίαν ἀνεπιτήδειον ἐφαίνετο καὶ ἁπλῶς πάντα ἤδη ἐς τὸ πλῆθος οἰκοῦντες. ὡς δὲ ἐτέθη ταῦτα καὶ ἐς πᾶσαν τὴν Κελτικὴν ἀπηγγέλθη, πολλὰ εἰκότως ὠφέλησεν. οὔτε γὰρ πάνυ ἠγάπων αἱ πόλεις σφίσιν αὐ-

ταῖς ξυῤῥάξουσαι, καὶ νῦν ὁρῶσαι σώφρονα καὶ πολιτικὰ προαιρουμένους τοὺς ξυνέδρους καὶ οὐχ— ὅπερ ᾤοντο—δυναστείαν σφίσι κατασκευαζομένους, μετεμέλοντο αἱ πολλαὶ πλὴν Λυγδυναίων καὶ Καεννῶν καὶ Μασσαλιωτῶν. οἱ δὲ τὰ τείχη κατεσκεύαζον καὶ στρατιὰς ξυνέλεγον καὶ ἔῤῥωντο οἵ γε τὰ πρὸς νότον ἔχοντες τῆς Κελτικῆς ὡς τοῦ Ἰτάλου βοηθήσοντος.

Οἱ δὲ ἐν τῷ ἄστει ἐχόμενοι μᾶλλον ἤδη τῶν πολεμικῶν ξυντυχίᾳ κατὰ τὸν αὐτὸν καιρὸν περιέπεσον ἢ τοὺς ἐναντιωθέντας πλεῖστον διέβαλε. τὸν γὰρ Μάρατα, ἄνδρα πάνυ δημοτικὸν εἴ τις ἄλλος καὶ τὰ πλεῖστα ξυνθέντα τῶν βίᾳ τότε πραχθέντων παρθένος τις Καεννὶς ἐξ ἐπιβουλῆς ἐπάταξεν, αἰτίαν τοῦ μετελθεῖν πλάσασα ὡς τὰ τῶν κρύφα ἐπιτιθεμένων τῷ δήμῳ ἐπισταμένη ὥστε μηνύειν. καὶ ἐκείνη ξυλληφθεῖσα καὶ ἐς δίκην ὑπηγμένη οὔτε ἔφη αὐτῇ ξυνειδέναι τινὰ ὃ δέδρακεν, οὔτε πεισθῆναι ὑπ᾽ ἄλλου οὐδένος ἢ αὐτῶν τῶν τοῦ ἀνδρὸς ἀδικημάτων, οὕτω γὰρ ἐλπίσαι εὐδαίμονα ἂν γενέσθαι τὴν πατρίδα εἰ ἀναιρεθείη ὁ τυραννεύων· ὅμως δὲ τὴν αἰτίαν μετέφερον οἱ πλεῖστοι ἐς τοὺς ξυνέδρους τοὺς ἀπολυθέντας. ἡ μὲν οὖν θανάτῳ ἐζημιώθη, τὸν δὲ Μάρατα παντὶ τρόπῳ τιμῆς ἐκόσμησαν, δημοσίᾳ τε θάψαντες καὶ τὸν ἀνδριάντα ἐν τοῖς ἀρχείοις καὶ τοῖς πρυτανείοις στήσαντες, καὶ ἀπέβλεπον ἤδη ὡς πρὸς ἄνδρα ἀεὶ μὲν καὶ ἐν τῷ πρόσθεν χρόνῳ τοῦ δήμου φίλον διατελοῦντα νῦν δὲ ὑπὲρ αὐτοῦ θανόντα. καὶ ἐμοίγε δοκεῖν μακάριός ἐστι τῆς τότε τελεύτης ὥσπερ θείᾳ τινὶ τύχῃ ἐπιγενομένης, οὔτε γὰρ ὃ πολλοῖς ἑτέροις ξυνέβη φθόνῳ ἐξ ὑποστροφῆς καὶ ἐχθρᾷ περιέπεσεν, οὔτε εἰ ἐπεβίω τὰ λοιπὰ ἔτι φαίνεται ξυμφερόντως ἂν διοικῆσαι, ἀνὴρ μᾶλλον κατὰ τῶν καθεστώτων νεοχμοῦν ἐπιτήδειος ἢ τὰ ὑπάρχοντα σώζειν τε καὶ κοσμῆσαι.

Οἱ δ᾽ οὖν ξύνεδροι εὐθὺς μετὰ ταῦτα ὁρῶντες

τοὺς πολίτας πάνυ μὲν ὡρμημένους ἐς τὸν πόλεμον, τῆς δὲ πρὸς αὐτὸν παρασκευῆς φαύλως ἔχοντας, τοιάδε ἐβουλεύσαντο. ἔδοξε γὰρ αὐτοῖς, γνώμην πρῶτον ἀποφηνάντων τῶν δώδεκα οἳ σωτηρίας τῆς πατρίδος ἐπιμελεῖσθαι ᾑρέθησαν, μηκέτι ξυλλογὰς ποιεῖσθαι, ἀλλ' ἤδη πάντας τοὺς ἐν ἡλικίᾳ κατὰ πόλεις καὶ κώμας ἀθροίζειν, ὧν τοὺς μὲν στρατεύειν κατὰ μέρος ὅπου ἂν δέοι, τοὺς δὲ πρὸς τὰ ἀεὶ ξυμβαίνοντα τοῦ πολέμου ἑτοίμους ὑπάρχειν. ἔτι δὲ τὴν προσήκουσαν τούτοις παρασκευὴν ὡς δύνατον μάλιστα ἔσπευδον πορίσασθαι, ὅπλων ἐργαστήρια κατὰ πόλεις καταστησάμενοι καὶ χειροτέχνας ἐς ταῦτα ἐξ ἀνάγκης ἐμμίσθους ὅθεν μάλιστα ἐνεδέχετο ξυναθροίζοντες· σμικρὸν δὲ οὐδὲν διενοοῦντο ἀλλὰ πᾶσαν τὴν Κελτικὴν στρατόπεδόν πως ἀπεδείξαντο καὶ ἐργαστήριον τῶν πολεμικῶν, ἅμα νεοὶ καὶ πρεσβύτεροι καὶ παῖδες καὶ γυναῖκες τὸ μέρος ἕκαστοι ὑπουργοῦντες πρὸς τὸ ἀμύνεσθαι. χρημάτων δὲ προσόδον ὅσῳ ἐνδεεστέραν εἶχον τοσούτῳ βιαιότερον ἐμηχανήσαντο ὥστε πορίσασθαι. καὶ τὸ μέγιστον τὰ δημοσιωθέντα παρεῖχεν· ὅσα γὰρ ἦν τῶν γεωμόρων τῶν πρότερον ἐκπεσόντων, οἴκιαι καὶ χωρία καὶ ἡ πολυτελὴς κατασκευή, ἔτι δὲ τῶν ἄλλων ὅσοι πώποτε κατὰ στάσεις ἠτύχησαν, πάντα ἐς τὸ κοινὸν μετηνέχθη. τούτοις οὖν ἐν τῷ παρόντι ἐχρῶντο χρήματα ἐπ' αὐτοῖς δανειζόμενοι καὶ ψηφισάμενοι πάντας τὰ ὑπὲρ τὴν ἀναγκαίαν χρείαν ὑπάρχοντα ἐς τοῦτον τὸν δανεισμὸν φέρειν. καὶ ἔτι μᾶλλον ἐνέκειντο τοῖς τοιούτοις ὅσῳ οἱ πλουσιώτεροι αἰτίαν εἶχόν τινες ὡς τῷ δήμῳ οὐκ εὖ φρονοῦντες. τὸ δὲ ξύμπαν διῴκουν ὡς δύνατον ἀκριβέστατα, ἄνδρας αἱρετοὺς ἐς τὰς πόλεις ἀποστέλλοντες καὶ μάλιστα εἴ που προσβάλλειν ἔμελλον οἱ πολέμιοι, τούτους δὲ αὐτοκράτορας χρημάτων πλῆθος ἐπαγγέλλειν καὶ τῶν ἄλλων ὁπόσον ἀξιοῦσι. τούτῳ οὖν τῷ

τρόπῳ στρατούς τε ξυνέλεγον ἐς δέκα μυριάδας ἀνδρῶν καὶ τὴν ἐπιτηδειοτάτην αὐτοῖς παρασκευὴν ὥστε τρέφειν καὶ ὁπλίζειν, καὶ ἔῤῥωντο μᾶλλον πρὸς τοὺς πολεμίους τούς τε ἔξω καὶ τοὺς αὐτόθεν.

Τὸ μὲν οὖν τῶν Καεννῶν οὐδὲν μέγα ἦν, ἐν γὰρ ἀκροβολισμῷ τινὶ ἧσσον ἔχοντες καὶ οὐκ ἀξιοῦντες τὸν Ἄγγλον ἐπικαλεῖσθαι οὔτε ἂν οἰόμενοι αὐτοὶ περιγενέσθαι τῷ πολέμῳ εὐθὺς προσεχώρησαν. ἐν δὲ τούτῳ τὸ μὲν Λύγδυνον ὁ Κραναῖος ἐπολιόρκει ἄνδρας ἔχων ὀλίγῳ πλείους μυρίων, τῶν δὲ Μασσαλιωτῶν ἡ πόλις ἤδη ἑάλω· ὥστε εἰ μὴ οἱ ἐς Τώλωνα καταπεφευγότες Ἄγγλους ἐπεκαλέσαντο οἳ ἔτυχον ἐφορμοῦντες πάντα ἂν κατεστράφη τὰ ταύτῃ χωρία.

Κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦτον ὁ Ὑχαρδος ἄνδρας ἔχων ἑξακισμυρίους ἐπὶ τοὺς Ἄγγλους καὶ Βελγὰς καὶ Τεύτονας ἐστράτευσεν οἳ ἐπολιόρκουν τὴν Δυγκερκίαν· καὶ ἐκείνους μὲν ἔτρεψε καὶ τὴν πόλιν περιεποίησεν· ὕστερον δὲ ἐς τὴν Βελγικὴν ἐσβαλὼν τότε δὴ ἐν Μενίνῳ ἐπιβοηθησάντων τῶν Τευτόνων ἐνικήθη τε καὶ ἐπὶ τῆς Κελτικῆς αὖθις ἀνεστέλλετο. καὶ τὰ ἐν τῷ θέρει τούτῳ πρός γε τοὺς ἔξωθεν πολεμίους γενόμενα οὐ μέγαλα ἦν.

Οἱ δὲ ἐν τῷ ἄστει τάς τε ἥσσας, ταύτην τε καὶ τὴν ἐν Βενδαίᾳ γενομένην, μειζόνως ἐλάμβανον, καὶ ὥσπερ εἰκὸς τούς τε στρατηγοὺς ἐκάκιζον καὶ αὐτοῖς τοῖς δώδεκα ἐνέκειντο χαλεπαίνοντες ἐν μὲν οὖν τῷ ξυνεδρίῳ παρελθὼν ὁ Ῥοβεσπῖρος τό τε ὕποπτον τῆς γνώμης ἀπάγειν ἐπειρᾶτο· καὶ ῥαδίως ἀνέπεισεν ὡς χρὴ διὰ τὸν κίνδυνον ἐς ὀλίγους ποιεῖν τὰς ἀρχὰς ὅτι μάλιστα· ὥστε ψηφίζονται ἀναιρεῖσθαι τὰ νεωστὶ κείμενα ἕως ἂν εἰρήνη γένηται, καὶ πάντα ἤδη τοῖς δώδεκα ἐπιτρέπουσι, σωμάτων τε καὶ χρημάτων κυρίοις εἶναι καθ' ὅσον ἂν δοκῇ.

Οἱ δὲ τὴν ἀρχὴν οὕτω βεβαιωσάμενοι τά τε ἐπιβάλλοντα τῆς ἐπιμελείας ἔν σφισι διείλοντο καὶ πάντα ἤδη ἐπὶ τὸ χρησιμώτερον ἢ πολιτικώτερον μετεχείριζον. τοῦ γὰρ Δάντωνος παραινέσαντος ὡς οὐδὲν ἄρα ποιοῦσι τοὺς ἔξωθεν προσβάλλοντας ἀμυνόμενοι ἐφ' ὅσον ἔτι ὑπολείπονταί σφισιν οἱ λάθρα ἐπιβουλεύοντες, καὶ χρὴ μάλιστα ἅπασι τοῖς πολεμίοις δέος ἐμποιεῖν, οὕτω νόμος τίθεται, πάντας ὅσοι ὑποπτεύονται μὴ εὖ φρονεῖν τῷ δήμῳ φυλακῇ τηρεῖσθαι μέχρι εἰρήνης. καὶ ἔτυχον γὰρ ἄνδρες κατὰ πόλεις καὶ κώμας ὑπὸ τοῦ δήμου ῥηρημένοι οἳ τὰ περὶ τῆς τῶν ὅλων σωτηρίας αὐτοσχεδιάσουσι, τούτοις ἐπιτρέπουσι τὸ μηνύειν περὶ τῶν ὑπόπτων. ἅμα δὲ φοβούμενοι μὴ κατὰ τὸ νόμιμον καὶ εἰωθὸς διωκομένων σκήψεις καὶ ἀναβολαὶ ἐγγίγνωνται, νέον δικαστήριον καθίστανται τοῦ κρίνειν τὰ τοιαῦτα ἔγκλήματα μὴ δι' ἀκριβείας μᾶλλον ἢ ἀπὸ σημείων καὶ τοῦ εἰκότος καὶ μάλιστα τοῦ δοκοῦντος ξυμφέρειν. ὧν καὶ αὐτίκα ἐπὶ τοῖς στρατηγοῖς πεῖραν ἔδοσαν· τὸν μὲν γὰρ Κύστινον εὐθὺς κρίναντες ἀπέκτειναν, ὀλίγῳ δὲ ὕστερον τὸν Ὕχαρδον, ἐγκλήματα λέγοντές τινα οὐκ ἄξια λόγου, τὴν δὲ ἀληθεστάτην πρόφασιν ὡς πταίσαντας ἐν τῷ πολέμῳ· ὡς ἐν τῷ παραυτίκα ξυμφέρον οὕτω φρονεῖν ἅπαντας ὡς ἢ νικήσοντας ἢ εἰ σφαλεῖεν μηδεμιᾶς ἂν τυχόντας ξυγγνώμης. ἅμα δὲ τὸν κόσμον καὶ τὴν ξύνταξιν τῶν στρατιῶν ἐς τὸ ἔργον μετήλλαξαν, ἄνδρας οἳ φερέγγυοι δόξειαν ἐπὶ τὰς ἀρχὰς προφέροντες ἄλλους τε μεταστησάμενοι· ὥστε ἐστὶν οἷς ξυνέβη λοχάγοις ἢ ταξιάρχοις μετ' ὀλίγους μῆνας τὴν στρατηγίαν παραλαβεῖν. οὕτω δὲ διοικουμένου τοῦ στρατιωτικοῦ ὁ πλεῖστον ὑπουργήσας πρὸς νίκην ὁ Κάρνως ἦν, ὃς ἐκ τῶν δώδεκα ὑπάρχων καὶ τὰ πολέμια λαχὼν μεταχειρίζειν οὕτως ἐπεμελεῖτο τῶν ὅλων ὥστε πάντας τοὺς στρατηγοὺς καθ' ἕνα λόγον ὁρμᾶσθαι· ἐν γὰρ τοῖς προτέροις τῷ ἀκόσμῳ καὶ ἀξυντάκτῳ τῶν

πρασσομένων οὐχ ἧσσον ἐβλάπτοντο ἢ τῇ ἀπειρίᾳ.

Τοῖς μὲν οὖν τὸ Λύγδυνον πολιορκοῦσιν ὁ Κούθων παρὰ τῶν δώδεκα ἀποστέλλεται βοηθήσων, στρατιὰν ἐκ τῶν προσοίκων ξυλλέξας ἐς τρεῖς μυριάδας. ἀφικομένου δὲ καὶ προκαλεσαμένου ἐς παράδοσιν τῆς πόλεως, ὡς οὐκ εὐθὺς προσεχώρησαν παν-στρατιᾷ προσβαλὼν αἱρεῖ αὐτήν· καὶ τοὺς μάλιστα δημοτικοὺς οὐδὲ ξυνθεμένους τὴν ἀπόστασιν ἐς τὰς ἀρχὰς καταστήσας τὰ λοιπὰ μηδὲν προαιρεῖσθαι βίαιον ἤθελεν ἕως ἄν τί οἱ ξύνεδροι περὶ αὐτῶν πλέον διαγνῶσιν· οἱ δὲ ἀφικομένου τοῦ ἀγγέλου ἄλλα τε ἐβουλεύσαντο δυσχερέστερα καὶ μάλιστα κατασκάπτεσθαι τὴν πόλιν πλὴν ὅσα δημόσια εἴη τῶν οἰκημάτων, καὶ ἐν στήλῃ αὐτοῦ ἀναγράφεσθαι ὡς τῇ ἐλευθερίᾳ ἐπιβουλεύσασα οὐκέτι ἐστὶν ἡ Λυγδυναίων πόλις.

Ἐν δὲ τούτῳ οἱ ἐν τῇ Βενδαίᾳ τάς τε ἄλλας στρατιὰς αἷς πρότερον ἐσέβαλλον τὰς τρεῖς ἐς μίαν ξυγκομισάμενοι, Κληβέρου στρατηγοῦντος, προὐχώρησαν ἐπὶ τῆς θαλάσσης καὶ τοῦ Λιγέρου ποτάμου. οἱ μὲν οὖν Βενδαῖοι καὶ αὐτοὶ τὴν δύναμιν ξυναθροίσαντες καὶ ὅσον οὐ πανδημεὶ ἐπὶ τοῦ ποτάμου ὑπεχώρουν, ἅμα μάχιμοι ἄνδρες πορευόμενοι καὶ ὁ ἄλλος ὄχλος γερόντων καὶ γυναικῶν καὶ παίδων, καὶ δὴ καὶ τὰ κτήνη ἐστὶν οἳ μετὰ σφῶν ἦγον ὡς τὴν ἄλλην χώραν οὐκέτι ἂν οἰκήσαντες διὰ τὸν πόλεμον, καὶ ἢ τῇδε ἀμυνούμενοι ἢν δύνωνται ἢ ἐς τὴν Βριτανν́ίδα καὶ τὰ ἐπιθαλάσσια διαφεύγειν κινδυνεύσοντες. ἐπεὶ δὲ περὶ τὸ Χατιλλώιον ἤδη ὄντες τοῖς πολεμίοις ἐνέτυχον καὶ μάχαις τισὶν ἔλασσον εἶχον, οὐ μέντοι λαμπρῶς γε, οὕτως ἐς Χωλήτιον ἐλθόντες ἐκεῖ δὴ περὶ τοῦ ὅλου διαμάχεσθαι ἐν νῷ εἶχον, εἴ πως τὸν ἐπελθόντα ἀναστείλαντες τὰ αὑτῶν ἔτι νέμοιντο. ὡς δὲ καὶ ἐκεῖ ἡσσήθησαν, πολλῇ γὰρ ῥώμῃ ἐπελθόντας ὅμως ἀπώσαντό τε καὶ ἔτρεψαν οἱ πολέμιοι

ἅτε δὴ τῷ ἐμπείρῳ καὶ εὐτάκτῳ πρὸς ἄνδρας γεωργοὺς πολὺ προὔχοντες, οὕτως ἐπὶ τὸν πόταμον τὸν Λίγερον ἦλθον καὶ τὴν διάβασιν ποιήσειν ἔμελλον. καὶ ταραχωδὴς μάλιστα ἐγένετο ἡ ἀναχώρησις ἥδε καὶ ἡ περαίωσις αὐτοῖς, ἅμα μὲν τοῦ παντὸς ὄχλου ἐπὶ τὰ χείλη τοῦ ποτάμου ξυνειλημένου, καὶ τῶν πλοίων ὀλίγων παρόντων οἷς περαιώσονται, ἅμα δὲ καὶ τῇ διώξει. τούτῳ οὖν τῷ τρόπῳ διαβάντες ποτὲ καὶ αὐτοῦ ἐναυλισάμενοι ἐπορεύοντο διὰ τῆς Βριταννίδος, ἣν γὰρ ἡ γνώμη τοῖς στρατηγοῖς τήν τε Χερσόνησον καταλαβεῖν καὶ τὰς ἐν μέσῳ πόλεις, ἣν δύνωνται, ἀποστῆσαι. προχωροῦσι δὲ αὐτοῖς χαλεπώτερα ἀεὶ καθ' ἡμέραν ἐγένετο, καὶ μείζων θόρυβος· προήεσαν γὰρ οὐδένι κόσμῳ καὶ ἅμα ἄνδρες καὶ γυναῖκες καὶ παῖδες, καὶ ἐκ δέκα μυριάδων οὐ πλείονες ἢ μύριοι οἱ μάχιμοι ἦσαν εἴ τισι προσβάλοιεν· οἱ δὲ στρατηγοὶ αὐτοῖς οἱ πλεῖστοι ἀπέθανον, λοχαγοὶ δὲ καὶ ταξίαρχοι καὶ ὁ ἄλλος διάκοσμος οὐ ἐν ταῖς στρατείαις χρεία οὐδὲ ἀρχὴν ἐγένοντο αὐτοῖς. ἀλλ' ὅμως οὕτω διακείμενοι ἐπὶ πολὺ ἀντεῖχον πρὸς τοὺς διώκοντας καὶ οὐκ ἔλασσον εἶχον ἐν τῇ καθ' ἡμέραν ἀκροβολίσει, μέχρι πειράσασι πρὸς τὴν Μεγαλόπολιν καὶ ἀποκρουσθεῖσιν ἀθυμία ἐνέπεσε καὶ οὐκέτι ἤθελον ἐν τῇ ἀλλοτρίᾳ κινδυνεύειν ἀλλὰ πάντως ἐς τὴν πατρίδα ἐπαναχωρῆσαι ὡρμῶντο. οὕτω δὲ ταλαιπωρηθέντες ὑπὸ τῶν διωκόντων καὶ τῇ ἄλλῃ κακώσει ὅπερ καὶ πρότερον, τὸ τελευταῖον ἐν τοῖς μεθορίοις ἤδη ὄντες τῆς Βενδαίας ἐς χωρίον τι ἐμπίπτουσιν ἔπου ἔνθεν μὲν ὁ πόταμος εἶργεν ἔνθεν δὲ ἕλη τινὰ καὶ ὕλη. οὕτω δὲ ἀνειληθεῖσι προσπεσόντες οἱ πολέμιοι τούς τε πλείστους αὐτοῦ διέφθειραν, καὶ ἐπὶ πολλὰς ἡμέρας διετέλουν φονεύοντες ὅσους λάβοιεν. ἐπὶ δὲ τὸν λοιπὸν ὄχλον, εἴ τις καὶ διαφύγοι ἢ ἐν τῇ γῇ ὑπολειφθείη τὸ πρῶτον, ἐπὶ τούτους μόριόν τι τῆς στρατιᾶς ἔπεμψαν, οἵτινες κατὰ λόχους αὐτοὺς διανεμόμενοι τὴν

χώραν πανταχόθεν διῆλθον καὶ τῶν κωμῶν τὰς πολλὰς ἐπίμπρασαν καὶ τὴν γῆν ἐδῄουν, καὶ τοὺς ἄνδρας ὅπου μέν τι ἀντισταίη ὡς πολεμίους διέφθειρον, ἄλλους δὲ καθ' ἡσυχίαν προσχωροῦντας κατὰ νόμον δὴ καὶ τὰ τῶν ξυνέδρων δεδογμένα ἀνάλωσαν, τὸν δὲ πλεῖστον ἑκασταχοῦ ὄχλον ἀναστάτους ἐξῴκιζον. τοιαῦτα τὰ περὶ τὴν Βενδαίαν γενόμενα.

Κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ τὴν Τώλωνα ἐκ πολλοῦ ἤδη πολιορκήσαντες εἷλον, καὶ οἱ μὲν Ἄγγλοι οἳ παρῆσαν ἀπέπλευσαν κατὰ τάχος τῶν νεῶν οὐκ ὀλίγας διεφθαρμένοι, ἅμα δὲ αὐτοῖς καὶ οἱ πολλοὶ τῶν τὴν πόλιν ἀποστησάντων· περὶ δὲ τῶν ἀνδρῶν οἳ ἐλήφθησαν καὶ ταύτῃ οἱ ξύνεδροι βουλεύσειν ἔμελλον τί δίκαιοί εἰσι παθεῖν. οὕτως οὖν τὰ κατὰ τὸ φθινόπωρον τοῦτο ἀπέβη αὐτοῖς ὥστε μηδένα ἔτι οἰκεῖον πόλεμον ὑπολείπεσθαι ἀλλὰ πάντων ἤδη κρατεῖν τοὺς ξυνέδρους, μᾶλλον δὲ, ὅπερ τῇ ἀληθείᾳ ἦν, τοὺς δώδεκα.

Οἱ δὲ ὅσῳ ἀσφαλεστέραν τὴν δύναμιν εἶχον τοσούτῳ ἐπὶ τὸ βιαιότερον ἐπεδίδοσαν καὶ αὐθαδέστερον. οὐ γὰρ εἰ καὶ αὐτίκα ἐκεκρατήκει τὸ τοῦ δήμου διὰ ταῦτα ἂν κίνδυνον μὴ εἶναι εἴ ποτε γένοιτο τοῖς τὰ ἐνάντια φρονοῦσιν ἐπαναστάσεως ἐξουσία. οἱ δ' οὖν ἄνδρας ἐκ τῶν ξυνέδρων πιστοὺς ἐς τὰς πόλεις πέμψαντες τὰς πρότερον ἀποστάσας Λύγδυνόν τε καὶ Τώλωνα καὶ Μασσαλίαν καὶ Βυρδιγάλαν, κρίσιν ἐποιοῦντο τῶν ἢ τὰ τοῦ βασίλεως ἢ τὰ τῆς σωφρονεστέρας δῆθεν πολιτείας φρονούντων· καὶ διὰ βραχέος δὴ γενομένων τῶν κρίσεων μεγάλας τὰς ζημίας ἐλάμβανον, καὶ οὐδὲν ἐν τῷ τοιούτῳ ἐφείδοντο οὔτε γένους οὔθ' ἡλικίας ἀλλὰ πολλάκις ἀνδρῶν καὶ γυναικῶν ἅμα ἑκατὸν μιᾷ ἡμέρᾳ θάνατον καταγνόντες αὐθημέρου ἀπάγοντες διέφθειρον.

Ταῦτα μὲν οὖν ἐν ταῖς πόλεσι ταῖσδε μάλιστα ἐπεχειρεῖτο, ἐν δ' αὐτῇ τῇ Λυτησίᾳ οὐδὲν ἧσσον

τῶν τοιούτων εἴχοντο, καὶ κατὰ τὸ δόγμα τὸ περὶ τῶν ὑπόπτων πολλοὶ ἤδη ἐν τοῖς δεσμωτηρίοις ἦσαν, ἅμα οἱ ἐκ τῶν βελτίστων καὶ οἱ ἐκ τοῦ δήμου καὶ πλουσιώτεροι ἄνδρες καὶ πενέστεροι, ἔτι δὲ πλείους ἀεὶ ξυνελάμβανον. καὶ ὥσπερ ὀλίγῳ πρότερον ἐψηφίσαντο ἐν τῷ δέει τὰ πάντα ἀνακεῖσθαι τῇ πατρίδι τοιαῦτα καὶ τὰ γιγνόμενα ἐφαίνετο· ξυνεταράχθη γὰρ ὁ βίος τοῖς πολίταις καὶ τῶν μηνυτῶν πολλῶν ὄντων ἅμα δὲ πιθανώτατα ἐν τῷ παρόντι καὶ ἀνέλεγκτα λεγόντων, ἐς ἀπορίαν κατέστησαν οἱ πολλοὶ καὶ μετριώτεροι, πᾶσα δ' ἦν ἀνάγκη τῳ ἐν τῇ στολῇ καὶ τῇ ἄλλῃ διαίτῃ πένητα φαίνεσθαι, ἢ εἷς τῶν ὀλίγων ἐδόκει εἶναι καὶ τῶν τὴν ἰσονομίαν καταφρονούντων, εἰ δὲ τοῖς ἐκπεσοῦσιν ἢ ἀποθανοῦσιν ὀλοφύραιτο ἢ τῶν πρασσομένων τι μέμφοιτο καταφανὴς ἦν τῇ ἐλευθερίᾳ ἐπιβουλεύων· ἐστὶ δὲ οὓς κατέδησαν ὕστερον καὶ διεχρήσαντο ἔγκλημα λέγοντες οὐδὲν ἄλλο ἢ ὅτι τὸν Τεύτονα παραγίγνεσθαι βούλοιντο.

Ἐν τοῖς πρώτην μὲν οὖν τὴν βασίλειαν ἔκριναν, ὀλίγῳ δὲ μετ' αὐτὴν τοὺς ξυνεδρεύσαντας τοὺς εἴκοσι καὶ δύο. ἐγκλήματα δὲ κατ' αὐτῶν οἷα εἰκὸς προεφέρετο, κατὰ τῆς μὲν ὡς πρὸς τοὺς Τεύτονας κρύφα κοινολογησαμένης καὶ ἅπαντα μετὰ τοῦ βασίλεως ξυνθεμένης ὅσα ἐνάντια ἐπράχθη τῷ δήμῳ, ἄλλα δὲ τοιαῦτα· ἐκείνοις δὲ ξυνωμοσίαν ἐπέφερον καὶ τὴν ἀπόστασιν τὴν τῶν πόλεων· καὶ μάρτυρας παρείχοντο καὶ ἐκείνοις θανάτου δίκην ἀπολογεῖσθαι ἐπέτρεπον. ἦν δὲ ποεγνωσμένον δήπου ὅ τι περὶ αὐτῶν κρινεῖν ἔμελλον, τοὺς γὰρ στάσει νικηθέντας οὐκέτι ἠξίουν οὕτω κινδυνευούσης τῆς πατρίδος αὖθίς σφισι πράγματα παρέχειν· ὅπου γὰρ ἅπασι τὸ δεινὸν ἐπεκρεμάσθη τοὺς ἐπὶ σμικροῖς ἄρξαντας τῆς στάσεως αἰτίους γενέσθαι εἴ τι ἐν τῷ πολέμῳ πταῖσαι ξυνέβη. τοιαῦτα μὲν ἐνομίζον, εἴτε δικαίως εἴτε καὶ μή· οἱ δὲ καὶ μεταξὺ κρινόμενοι καὶ ἐπειδὴ θάνατος αὐτῶν κατε-

γνωστο πολὺ τὸ ἀνδρεῖον ἀπεδείξαντο καὶ ἡνίκα τὴν ἐπὶ θανάτῳ ἀπήγοντο ᾄδοντες τὸν παιᾶνα ἅμα πάντες ὃς ἐπὶ ταῖς στρατείαις καὶ ταῖς μάχαις ἐνομίζετο οὕτως ἐτελεύτησαν.

Οἱ δὲ ἐκείνων κατὰ τὴν στάσιν κρατήσαντες νῦν δὴ καὶ αὐτοί τι διεφέροντο. ἦσαν γὰρ ἐν τοῖς ξυνέδροις ἄνδρες πολλοὶ καὶ οὔτε εἰπεῖν οὔτε γνῶναι ἀδύνατοι οἳ ἐπὶ τῷ βιαίῳ τῶν πρασσομένων ἠγανάκτουν, καὶ ἐπεὶ νῦν ἤδη ἐν ἀσφαλεῖ ἐδόκει εἶναι τὰ τῆς ἐλευθερίας οὐκέτι ἠξίουν τοσαύτας προκεῖσθαι τὰς τιμωρίας· ἦσαν δὲ οἵδε μάλιστα ὁ Δάντων καὶ οἱ περὶ αὐτὸν, ἀνὴρ οὐδὲν ἀποκνήσας ἡνίκα ἔδει τόλμης καὶ τὰ πολλὰ ξυνθεὶς ὅτῳ τρόπῳ κατέστη. πρὸς δ' αὐτοῖς καὶ οἱ τοῦ ὄχλου τοῦ ἐν ἄστει προεστῶτες ἐχαλέπαινον ὡς οὐκέτι ἐπί σφισι τῶν πραγμάτων ὄντων καίπερ τὰ πολλὰ αὐτοὶ προκόψαντες τοῖς πρὸ ἐνιαυτοῦ ἐπιχειρηθεῖσιν· ἐπῄνουν δὲ οὗτοι ὥσπερ εἰκὸς τὰ ἀεὶ βιαιότατα καὶ πᾶν ὅ τι τῷ πλήθει βουλομένῳ εἴη, καὶ ἐδόκουν τῆς ἄντικρυς ἀναρχίας ὀρέγεσθαι.

Διεβλήθησαν μὲν οὖν πρῶτον πρὸς τοὺς δώδεκα ἐπὶ τοῖς περὶ τὰ ἱερὰ νεωτεριζομένοις. τούτων γὰρ ἐπιτασσόντων, ἦσαν δ' ἐν αὐτοῖς οἱ τὰ ἀστυνομικὰ διοικοῦντες, τά τε πρὸς τὸ θεῖον ἐπαύσθη ἐν ἄστει γιγνόμενα, εὐχαὶ καὶ τελεταὶ, καὶ τὰ ἐν τοῖς ναοῖς ἀναθήματα καὶ τὰ ἱερὰ σκεύη ἐσυλήθη, καὶ δὴ καὶ τὰ ἐπὶ τοῖς τάφοις τῶν πρότερον βασιλευσάντων ἀνακείμενα ἐκίνησαν, λέγοντες χρῆναί τι ὠφελεῖσθαι τὸν δῆμον ὑπ' αὐτῶν ἀλλὰ θανόντων γε· καὶ περὶ τοὺς ναοὺς τοὺς ἐν ἄστει περιῄεσαν κῶμοί τινες τὰ ἱερὰ καὶ μυστήρια ἐφ' ὕβρει ποιοῦντες, ὡς οὐκέτι δέον νομίζειν εἰ μὴ τῷ Νῷ, καὶ τούτου τοῦ θεοῦ καὶ ἦγον ἑορτάς. ἐπεὶ δὲ τῷ αὐτῷ τροπῷ ἐν ἁπάσῃ τῇ Κελτικῇ τὰ θεῖα ἐπέπαυτο καὶ οἱ ναοὶ ἐσυλήθησαν καὶ ἔτι κατὰ τῶν ἱερέων ὠμότερα ἄλλα ἐβουλεύοντο, τότε δὴ οἱ δώδεκα οὐκέτι ἀνασχετὰ ἐποιοῦντο, καὶ γνώμην εἰπόντος τοῦ Ρόβε-

σπίρου ἀπεψηφίσαντο οἱ ξύνεδροι μηκέτι ἄγεσθαι τὰς νεὰς ἑορτὰς ἐκείνας, ἐς δὲ τὰ θεῖα ἅπασι τὸ αὐτὸ μετεῖναι, ἄλλα δὲ ὅσα πρὸς τὸ τῶν ἀστυνόμων σφισὶν ἀρωγὰ ἐδόκει· ἐκεῖνοι δὲ τέως μὲν ἀντεῖχον καὶ τὸ πλῆθος ἀνιστάναι ἐπειρῶντο, ἐπὶ τῇ παρούσῃ σιτοδείᾳ καὶ αὐτὸ χαλεπαῖνον· ὡς δὲ οὐ προεχώρει τοῦτο, ἡσυχάζοντος τοῦ ὄχλου ξυνέλαβον οἱ δώδεκα καὶ κριθέντας ἀπέκτειναν, αἰτίαν ἐπιφέροντες ὅτι ἐπὶ ξυνωμοσίᾳ βασιλικῇ καὶ πολεμικῇ τάδε γένοιτο, ἵνα δὴ ἀναρχίαν ποιήσαντες τὴν δημοκρατίαν διαλύοιεν· τοιαῦτα μὲν γὰρ ἐλέγετο, καὶ ἦσαν ἐν ταῖς ἑταιρείαις ἄνδρες τινὲς Ἄγγλοι καὶ Τεύτονες, οὐ μέντοι πολλοί γε· καὶ δὴ ἐν τῷ τότε ὑπόπτῳ τῆς γνώμης πάντα ἐδόκει ἐπὶ ξυνωμοσίᾳ πεπρᾶχθαι.

Ταὐτὰ δὲ ταῦτα καὶ κατὰ τῶν περὶ Δάντωνα ἐμηχανήσαντο, οὓς Μαλακοὺς ἐπωνόμαζον, ὁ μὲν Ροβεσπῖρος κρύφα τι τῷ Δάντωνι διαβεβλημένος ἤδη, ἅμα δὲ νομίζων αὐτὸς ἂν μόνος ἐπίσημος εἶναι καὶ τῷ δήμῳ πιθανώτατος εἰ ἐκεῖνον ἀναλώσαι, οἱ δὲ ἄλλοι τῶν δώδεκα πάντα ἕνεκα τῆς αὐτῶν δυνάμεως καὶ τῆς αὐτίκα φιλοτιμίας ἑτοῖμοι ὄντες ἐπεξιέναι. καὶ τῷ Δάντωνι οὐκ ἄδηλον ἦν τὸ γενησόμενον, ἀλλὰ πρὸς τοὺς μηνύοντας ὅμως ἀπεκρίνατο οὔτε ἐκ τῆς πατρίδος φεύγειν ἂν τλῆναι οὔτε ἐθέλειν στάσιν ποιεῖν ἵνα φθάνῃ προεπιβουλεύων. ἐπεὶ δὲ ξυνελήφθησαν αὐτός τε καὶ ὁ Κάμιλλος καὶ ἄλλοι τινὲς τό γε πρῶτον ἐν τοῖς ξυνέδροις ἀντελέγετό τι καὶ ἐθορυβεῖτο, τοῦ μέντοι Ροβεσπίρου εἰπόντος γνώμην ἐψηφίσαντο κρίνεσθαι αὐτοὺς· ἐς τοῦτο γὰρ περιέστη τὰ πράγματα ὥστε ἕκαστός τις τέως ᾤετο σωτηρίαν οἱ πεπορίσθαι ἕως μὴ ἐκείνῳ ἐμποδὼν ἐγίγνετο. οἱ δ' οὖν ἁλόντες ὥσπερ καὶ οἱ πρότερον διωκόμενοι—οἱ γὰρ δικασταὶ ἀπολυομένων αὐτῶν τὰ ἐγκλήματα καὶ πολλὰ σχετλιαζόντων οὐδὲ ἀκούειν ἤθελον τὴν ἀπολογίαν—οὕτως ἀπέθανον, ἄνδρες καὶ πρότερον

πολλὰ ὑπουργήσαντες τῇ πατρίδι πρὸς ἐλευθερίαν καὶ οὐκ ἐλάχιστα ἐν τῷ τότε.

Ἀνῃρημένων γὰρ αὐτῶν καὶ οὐδένος ἔτι τῷ βιαίῳ τῆς ἀρχῆς ἐνισταμένου περιέστη τῷ ἀληθεστάτῳ λόγῳ ἐς τυραννίδα, καὶ τὰ πάντα ἀεὶ μᾶλλον κατὰ κράτος ἔνεμον ὁ Ροβεσπῖρος καὶ ὁ Κούθων καὶ ὁ Ἰοῦστος, οἷς ἐκεῖνος δὴ ἐκ τῶν δώδεκα μάλιστα ἐπιτηδείοις καὶ ὁμογνώμοσιν ἐχρῆτο, πάντα δὲ ἐποίουν ὅσα ἄν τις ὠμότατα ἐπεξέλθοι τῶν τυράννων. οἱ μέντοι ξύνεδροι ἔτι ἐβούλευον καὶ δι' αὐτῶν πάντα διῳκεῖτο τὴν πρόφασιν, ἐψηφίζοντο δὲ οὐδὲν ὅ τι μὴ ἐκείνοις δοκοίη, καὶ εἴ ποτέ τις καὶ ἀντείποι παρελθὼν εἰς τῶν τριῶν ἐσωφρόνιζε τε καὶ κατέπλησσεν εὐθὺς ἐπὶ τὸ πείθεσθαι. τῶν δὲ ἐν τοῖς δεσμωτηρίοις, τῶν ὑπόπτων, πολλῶν ὄντων, ἵνα δὴ τι ἔχωσιν εἰπεῖν ἔγκλημα ξυνωμοσίας ἐπέφερον ὡς ἐκεῖ μάλιστα γιγνομένας, ἢ καί τινας ἔπεισαν κατὰ τῶν ξυνδεσμωτῶν ὅτων ἄν σφισι δοκῇ μηνύειν ἢ λόγους ἢ ἄλλο τι, καὶ ὅσοι ἐν αἰτίᾳ οὕτω γένοιντο, τοὺς δ' ἀφ' ἑσπέρας ἀεὶ ξυλλέξαντες ἐς τὸ δικαστήριον ἀπῆγον, καὶ ἐκεῖθεν τῇ ὑστεραίᾳ παρὰ τὸν δήμιον. λέγονται δὲ διὰ μηνὸς ὅλου ἀεὶ καθ' ἡμέραν ἄνδρες καὶ γυναῖκες πεντήκοντα ἢ πλείους οὕτως ἐν ἄστει ἀποθανεῖν, καὶ εἰ μὴ διελύθη τὸ δικαστήριον καὶ μείζων ἂν γενέσθαι ὁ ἀριθμὸς αὐτῶν. ἐν δὲ ταῖς ἄλλαις πόλεσι καὶ δεινοτέρας τὰς ζημίας ἐλάμβανον ἄνδρας παρὰ σφῶν ἐπιτηδείους πέμψαντες. καὶ μάλιστα ἐν ταῖς Ναννήταις ὁ Καρρῆρος τῶν Βενδαίων ὅσοι ἐζωγρήθησαν καὶ τοὺς αὐτόθεν γεωμόρους καὶ εἴ τινες ἄλλοι ἐν ὑποψίᾳ ὄντες ἔτυχον ἐτιμωρήσατο· καὶ τῶν δεσμωτῶν πολλάκις οὐδὲ κρίσιν ποιήσας ἡμέρᾳ μιᾷ διακοσίους θανάτῳ ἐζημίου. ἐμηχανήσατο δὲ τοιόνδε τι τοῦ πολλοὺς ἅμα ἀναλῶσαι· ἐς πλοῖα γὰρ κατάφρακτα ἐμβιβάσαντες αὐτοὺς καὶ καθείρξαντες τοῦ μὴ ἐκνεῦσαι, ταῦτα ἐκόμζον ἀπὸ κάλω ἐς μέσον τὸν πό-

ταμον,—ῥεῖ δ' ἐκεῖ μέγας,—καὶ οὕτω κατέδυσαν. ἀπέθανον δὲ ἐν τῇδε τῇ μιᾷ πόλει οὐκ ἐλάσσονες πεντακισχιλίων, λέγονται δὲ καὶ πολὺ πλείους, καὶ ἐν τούτοις πολὺς ὁ ἀριθμὸς ἐγένετο τῶν γυναικῶν καὶ παίδων.

Ἐν δ' οὖν τῷ τοιούτῳ ἐς κατάπληξίν τε καὶ ἀπόνοιαν οὐκ ὀλίγην οἱ πάντες κατέστησαν, καὶ οὐδεὶς ἔτι ἐν ἀσφαλεῖ ἐδόκει εἶναι, οὔτε οἱ πολλοὶ τῶν πολιτῶν οὔτε οἱ ξύνεδροι οὔτε αὐτῶν τῶν δώδεκα ὅσοις μὴ φίλοις ὁ Ροβεσπῖρος ἐχρῆτο. ἐκείνου γὰρ ἀεὶ ἐς τὸ ἀγριώτερον ἐπιδιδόντος, καὶ ἐν ταῖς ἑταιρείαις τοὺς ἐν τέλει αἰτιωμένου ὡς τῷ ἀρίστῳ καὶ τῇ πατρίδι ξυμφόρῳ ἐνίστανται, οὐκ ἄδηλον ἦν ὅ τι ἐπενόει. δοκεῖ δὲ δή τισιν ἐν τῷ τότε βουληθῆναι μάλιστα τὰς στάσεις ἐς ἅπαξ παύσας καὶ τοὺς προεστῶτας ἀνελὼν καὶ τὰ τέλη καταλύσας οὕτω τὴν πάνυ ἰσονομίαν καὶ ἰσομοιρίαν πάντων τῷ πλήθει καθιστάναι, ὥστε γενέσθαι ἐς τὸ ἔπειτα δημοκρατίαν δὴ τὴν ἐπ' ἀρετῇ, καὶ ἐς τε ταύτην τά πρὸς τὸ θεῖον ἤδη εὐτρεπίσαι, ναοὺς καὶ ἑορτάς, καὶ τότε αὐτῆς ἕνεκα ἐκεῖνα βουληθῆναι νεωτερίζειν. εἴτε οὖν ἥδε ἦν ἄρα ἡ διάνοια εἴτε μή, ὅμως ἐν τῷ παρόντι πολλαί τε ὑπόψιαι ἐγένοντο καὶ φανερὸς ἦν ὁ κίνδυνος πᾶσι τοῖς ἐναντίοις ἐπικρεμασθεὶς, καὶ δὴ καὶ κρύφα περιεφέρετο κατάλογός τις τῶν μελλόντων ὑπ' ἐκείνου ἀναιρεῖσθαι· ὥστε πάντες ἤδη καὶ οἱ ἐκ τῶν δώδεκα ὑπάρχοντες καὶ οἱ ἄλλοι ξύνεδροι εἰ καὶ ἐν τῷ προτέρῳ διηνέχθησαν νῦν δὴ ἐς τὴν κοινὴν οὕτω σωτηρίαν ξυνεστρέφοντο· καὶ ἐπειδὴ παρελθὼν ὁ Ἰοῦστος ἐν αὐτοῖς διέβαλλέ τινας ὡς τὴν πατρίδα προδιδόντας οὐδὲ ἀκούειν ἤθελον ἀλλ' ἀποκτείνειν ἐβόων τοὺς τυράννους· καὶ παρελθόντος πρὸς πολὺν σχετλιασμὸν τοῦ Ροβεσπίρου καὶ οὐδὲν προκόψαντος μᾶλλον, τὸ τέλος ἐψηφίσαντο ξυλλαμβάνειν αὐτόν τε καὶ τὸν ἀδελφὸν καὶ τὸν Κούθωνα καὶ τὸν Ἰοῦστον, καὶ οἱ τόξοται εὐθὺς ἀπήγαγον αὐτούς. οἱ μὲν οὖν

ἀστυνόμοι καὶ ἄλλοι τινὲς οἱ ἐκ τῆς ἑταιρείας ἐν τῷδε ξυνειλεγμένοι ἦσαν ὡς ἐπικουρήσοντες ἐκείνῳ, καὶ εὐθὺς ἄνδρας παρὰ σφῶν πέμψαντες αὐτούς τε ἐκ τῆς φυλακῆς ἀφῃροῦντο καὶ ἐς τὸ Πρυτανεῖον ἄγοντες ἐντεῦθεν δὴ τό τε πλῆθος ἀναστήσειν καὶ βίᾳ διακρινεῖν τὸ πρᾶγμα ἔμελλον. ὡς δὲ οὔτε οἱ ξύνεδροι ἐνεδίδοσαν ἀλλὰ ἀνεῖπον κατὰ ἄστυ παρὰ σφᾶς ἰέναι τὸν βουλόμενον τοῖς πατρικοῖς καὶ τοῖς νόμοις τιμωρεῖν, καὶ ἡ αὐτόθεν πολιτικὴ δύναμις κατὰ τὸ παραγγελλόμενον ξυνελέγετο ἡ πλείστη, καὶ τὸ πλῆθος οὐδὲν ἐνεωτέριζεν ἀλλ' ἡσύχαζεν, καὶ οἱ τῷ Ροβεσπίρῳ πρότερον μεθ' ὅπλων βοηθήσαντες διελύοντο, τότε ἐκεῖνοι καταπλαγέντες ἤδη σφᾶς αὐτοὺς ἀποχρᾶσθαι ἐπειράσαντο καὶ λειποψυχοῦντες οὕτως ὑπὸ τῶν ὁπλιτῶν ἐζωγρήθησαν.

Οἱ δ' οὖν κρατήσαντες οἱ ξύνεδροι τούτους μὲν τῇ ὑστεραίᾳ κρίναντες διέφθειραν, ἄνδρας ἕνα καὶ εἴκοσι, τὸ δὲ δικαστήριον ἐκεῖνο ἀνεῖλον, καὶ τῶν ἐν τοῖς δεσμωτηρίοις τοὺς πολλοὺς [εὐθὺς ἀφῆκαν, καὶ τὴν ἄλλην διοίκησιν πολὺ μετήλλαξάν τε καὶ ἐσωφρόνισαν. τοιαῦτα μὲν τὰ ἐν ἄστει γενομένα.